UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

VII. Comparatio ejus cum Cyro Persarum & Alexandro Macedonum Rege.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

A

## Caput V.

*Quod XXX. quidem annis regnavit: vixit autem plusquam LX.*

AC tempus quidem Imperii ipsius, tribus denûm annorum circulis absolutis & aliquanto amplius honoravit; totius autem vitæ tempus quam inter homines duxit, duplo majore spatio circumscripsit. Porrò cùm eundem velut imaginem monarchiæ suæ proponere vellet, victorem eum omnis tyrannici generis præstitit; & impiorum Gigantum exstinctorem, qui desperatæ mentis audacia impulsi, contra ipsum Deum summum omnium Regem impietatis vexillum sustulerant. B Verùm hi quidem cùm momento temporis extitissent, momento quoque ac dicto citiùs exstincti sunt. Famulum autem suum Deus qui unus est ac solus, cùm solum adversus multos divinâ armaturâ muniisset, ejusq; operâ orbem terrarum impiorum hominum multitudine liberatum repurgasset, cultus sui magistrum universis gentibus constituit; clara voce cunctis audientibus testantem, se verum quidem Deum agnoscere, falsorũ autem Numinum errorem aversari. C

## Caput VI.

*Quòd Dei quidem famulus, gentium autem victor fuerit.*

ET hic quidem tanquam bonus ac fidelis servus, id egit ac prædicavit; servum se palam nominans, summique Regis famulũ se fateri non erubescens. Deus verò protinus ipsum remuneratus, Dominum ac victorem, solumq; ex omnibus qui unquam fuerunt Imperatoribus, semper invictum atque insuperabilem præstitit: & ob victorias ac tropæa tantum Imperatorem eum effecit, D quantum nemo unquam superiori memoria ullum extitisse recordatur. Adeò felicem & Deo carum; adeò pium ac fortunatum, ut plures quidem gentes ac nationes quàm priores Imperatores sub ditionem suam redegerit: Imperium verò omni molestia vacuum ad extremum usque diem obtinuerit.

## Caput VII.

*Comparatio ejus cum Cyro Persarum & Alexandro Macedonum Rege.*

CYrum Persarum Regem pre cunctis qui unquam exstiterint enituisse vetus narrat historia. Verùm ille nequaquam felicem exitum vitæ, immo tur-

## ΚΕΦΑΛΑΙΟΝ Ε´.

Ὅτι ἐβασίλευσε μὲν ὑπὲρ τὰ λ´ ἔτη μοναρχήσας, ἔζησε δὲ ὑπὲρ τὰ ἑξήκοντα.

ΧΡόνων μὲν βασιλείας, τρισὶ δεκάδων περιόδοις τελείαις, καὶ προσέτι λῷον τιμήσας. τούτων δὲ διπλάσιον τοῦ παντὸς βίου τὴν ἐν ἀνθρώποις περιορίσας ζωὴν τῆς δ' αὐτοῦ μοναρχικῆς ἐξουσίας τὴν εἰκόνα δοὺς, νικητὴν ἀπέδειξε παντὸς τυραννικοῦ γένους, θεομάχων τ' ὀλετῆρα γιγάντων. οἳ ψυχῆς ἀπονοίᾳ πρὸς αὐτὸν ἦραντο τὸν παμβασιλέα τῶν ὅλων δυσεβείας ὅπλα. ἀλλ' οἱ μὲν ὅσον εἰπεῖν βραχεῖ φανέντες, ἅμα τε καὶ ἀπεσβήκασι. τὸν δ' αὐτοῦ θεράποντα Θεὸς ὁ εἷς καὶ μόνος, εἷς πρὸς πολλοὺς θεϊκῇ φραξάμενος πανοπλίᾳ, τῆς τῶν ἀθέων πληθύος δι' αὐτοῦ τὸν θνητὸν ἀποκαθήρας βίον, εὐσεβείας τ' αὐτοῦ διδάσκαλον πᾶσιν ἔθνεσι κατεστήσατο. μεγάλῃ βοῇ ταῖς πάντων ἀκοαῖς μαρτυρόμενον, τὸν ὄντα Θεὸν εἰδέναι, τὴν δὲ τῶν οὐδαμῶς ὄντων ἀποστρέφεσθαι πλάνην.

## ΚΕΦΑΛΑΙΟΝ ς´.

Ὅτι Θεοῦ μὲν δοῦλος ἦν, ἐθνῶν δὲ νικητής.

ΚΑὶ ὁ μὲν οἷα πιστὸς καὶ ἀγαθὸς θεράπων τοῦτ' ἔπραττε καὶ ἐκήρυττε. δοῦλον ἄντικρυς ἀποκαλῶν καὶ θεράποντα τοῦ παμβασιλέως ὁμολογῶν ἑαυτόν· Θεὸς δ' αὐτὸν ἐγγύθεν ἀμειβόμενος, Κύριον καθίστη καὶ δεσπότην, νικητήν τε μόνον τῶν ἐξ αἰῶνος αὐτοκρατόρων ἄμαχον καὶ ἀήττητον εἰσαεὶ νικῶντα τροπαιοῦχόν τε βασιλέα τοσοῦτον, ὅσον οὐδεὶς ἀκοῇ τῶν πάλαι πρότερον μνημονεύει γενέσθαι. οὕτω μὲν θεοφιλῆ καὶ τρισμακάριον. οὕτω δὲ εὐσεβῆ καὶ πανευδαίμονα, ὡς μετὰ πάσης μὲν ῥᾳστώνης, πλειόνων ἢ οἱ ἔμπροσθεν καταρχεῖν ἐθνῶν, ἄλυπον δὲ τὴν ἀρχὴν εἰς αὐτὴν καταλῦσαι τελευτήν.

## ΚΕΦΑΛΑΙΟΝ Ζ´.

Πρὸς Κῦρον τὸν Περσῶν βασιλέα, καὶ Ἀλέξανδρον τὸν Μακεδόνα σύγκρισις.

ΠΕρσῶν μὲν δὴ Κῦρον παλαιὸς ἀνυμνεῖ λόγος περιφανῆ ἀποφανθῆναι τῶν πώποτε. ἀλλ' ἐπεὶ μὴ ταῦτα, τέλος δ' ἐχρῆν μα-

κρῷ

κροῦ φασὶν αὐτὸν οὐκ αἴσιον, αἰσχρὸν δὲ καὶ ἐπονείδιστον ὑπὸ γυναικὸς θάνατον ὑποστῆναι. Μακεδόνων Ἀλέξανδρον Ἑλλήνων ᾄδουσι παῖδες, μυρία παντοίων ἐθνῶν γένη καταστρέψασθαι. θᾶττον δ' ἢ συντελέσαι εἰς ἄνδρας, ὠκύμορον ἀποβιῶναι, κώμοις ἀποληφθέντα καὶ μέθαις. δύο μὲν ἔτη πρὸς τοῖς τριάκοντα τὴν πᾶσαν ζωὴν ἐνιαυτοῖς ἐπλήρου. τούτων δὲ τὴν τρίτην αὐτῶν πλέον ὁ τῆς βασιλείας περιώριζε χρόνος. ἐχώρει δὲ δι' αἱμάτων, ἀνὴρ σκηπτοῦ δίκην ἀφειδῶς ἔθνη καὶ πόλεις ὅλας ἡβηδὸν ἐξανδραποδιζόμενος. ἄρτι δὲ μικρὸν αὐθούσης αὐτῷ τῆς ὥρας καὶ τὰ παιδικὰ πενθοῦντι, δεινῶς τὸ χρεὼν ἐπιστὰν, ἄτεκνον. ἄρριζον ἀνέστιον ἐπ' ἀλλοδαπῆς καὶ πολεμίας αὐτὸν, ὡς ἂν μὴ εἰς μακρὸν λυμαίνοιτο τὸ θνητῶν γένος, ἠφάνιζεν. αὐτίκα δ' ἡ βασιλεία κατετέμνετο. τῶν θεραπόντων ἑκάστου, μοῖράν τινα περισπῶντος καὶ διαρπάζοντος ἑαυτῷ. ἀλλ' ὁ μὲν ἐπὶ τοιούτοις ἀνυμνεῖται χοροῖς.

pem potius atque ignominiosum sortitus esse dicitur; utpote à muliere interfectus. Alexandrum Macedonum Regem innumerabiles gentes domuisse prædicant Græci: sed priusquam ad virilem ætatem pervenisset, comessationibus & temulentia confectum, immatura morte periisse. Et hic quidem duorum ac triginta annorum spatio totius vitæ cursum absolvit; quorum non plus quam tertiam partem tempus Regni illius sibi vindicat. Grassatus autem est per cædes instar fulminis, gentes atque urbes integras absque ullo ætatis discrimine crudeliter servituti subjiciens. Sed cùm vixdum in ipso ætatis flore ageret, & amasium suum lugeret, mors repentè superveniens, illum improlem; nulla stirpe, nulla fundatum domo; in externo & hostico agro, ne humanum genus diutius vastaret, extinxit. Mox Regnum ejus varia in membra divulsum est, singulis ejus ministris partem sibi rapere atque auferre contendentibus. Verùm hic quidem ob hujusmodi mala laudibus effertur.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι τῆς οἰκουμένης πάσης σχεδὸν ἐκράτησεν.

Ὁ δ' ἡμέτερος βασιλεὺς ἐξ ἐκείνου μὲν ἤρχετο, ἐξ οὗπερ ὁ Μακεδὼν ἐτελεύτα. ἐδιπλασίαζε δὲ τῷ χρόνῳ τὴν ἐκείνου ζωήν. τριπλάσιον δ' ἐποιεῖτο τῆς βασιλείας τὸ μῆκος. ἡμέροις γέ τοι καὶ σώφροσι θεοσεβείας παραγγέλμασι τὸν αὐτοῦ φραξάμενος στρατὸν, ἐπῆλθε μὲν τὴν Βρεττανῶν καὶ τοὺς ἐν αὐτῷ οἰκοῦντας ὠκεανῷ τῷ κατὰ δύοντα ἥλιον περιοριζομένῳ. τό, τε Σκυθικὸν ὑπηγάγετο πᾶν, ὑπ' αὐτῇ ἄρκτῳ μυρίοις βαρβάρων ἐξαλλάττουσι γένεσι τεμνόμενον. ἤδη δὲ καὶ μεσημβρίας ἐπ' ἔσχατα τὴν ἀρχὴν ἐκτείνας, εἰς αὐτοὺς Βλέμμυάς τε καὶ Αἰθίοπας. οὐδὲ τῶν πρὸς ἀνίσχοντα ἥλιον ἀλλοτρίαν ἐποιεῖτο τὴν κτῆσιν· ἐπ' αὐτὰ δὲ τὰ τῆς οἰκουμένης ὅλης τέρματα Ἰνδῶν μέχρι τῶν ἐξωτάτω, τῶν περικύκλῳ περιοίκων τοῦ παντὸς τῆς γῆς τῷ βίῳ στοιχείου, φωτὸς εὐσεβείας ἀκτῖσιν ἐκλάμπων, εἶχεν ὑπηκόους ἅπαντας τοπάρχας. ἐθνάρχας. Σατράπας καὶ Βαρβάρων ἐθνῶν, ἐθελοντὶ ἀσπαζομένους καὶ χαίροντας, τοῖς τε παρ' αὐτῶν δώροις διαπρεσβευομένους, καὶ τὴν πρὸς

## Caput VIII.

*Quòd orbem propemodum universum subegerit.*

NOster, verò Imperator ex eo ætatis anno regnare orsus est, quo Macedo ille decessit. Ac vitæ quidem spatium duplo majus habuit quàm ille; Regni verò triplo longius. Ceterùm cùm exercitum suum mansuetis ac modestis religionis præceptis munivisset, in Britanniam quidem & in eos qui in ipso habitabant Oceano ad Solis Occasum longè latéque diffuso, signa intulit. Scythiam verò universam quæ sub ipso Septentrione posita, in plurimas gentes & nomine & moribus discrepantes dividitur, suo adjunxit Imperio. Jam verò cùm ad extremos meridiei fines Imperium propagasset, ad ipsos nimirum Blemmyas & Æthiopas: eos quoque qui ad Solis Ortum incolunt, in suam ditionem redigendos putavit. Deniq; ad ultimos usque continentis terminos, hoc est, ad extremos Indos & circumsitos undique populos, cunctos mortales qui universum terrarum orbem incolunt, splendidissimis pietatis radiis illustrans, Regulos, Præfectos & Satrapas gentium Barbararum, sibi obnoxios ac subditos habuit: qui sua sponte & cum gaudio ipsum salutabant, & Legatos cum muneribus ad



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN